στῆναι ἀνθρώπους ἐφ' ἡμᾶς.
Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς, ἐν τῷ
ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς.
Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς.
Χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν, Ἄρα δι-
ῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.
Εὐλογητὸς κύριος ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς
θήραν τοῖς ὀδοῦσιν αὐτῶν.
Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς
παγίδος τῶν θηρευόντων.
Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν.
Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου, τοῦ ποιή-
σαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκδ'.

ΟΙ πεποιθότες ἐπὶ κύριον ὡς ὄρος
σιών, οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα, ὁ κα-
τοικῶν ἱερουσαλήμ.
Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ κύριος κύκλῳ
τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.
Ὅτι οὐκ ἀφήσει κύριος τὴν ῥάβδον τῶν
ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων.
Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν

http://digital.slub-dresden.de/ppn346241804/265